pro Cæno & Medio ponunt. Sed hic, nihil aliud intelligit quam Philocleonem, cùm operaretur & patraret Sacra Corybātum, statim ea spernentem arripuisse tympanum, irruisse in auditorium & forum iudiciale. Εἰς Ἀσκληπιοῦ] Strabo lib. 8. ait aduersa affectos valetudine, in Epidaurici Æsculapij templo pernoctare solitos esse. ἐπὶ τῇ κιγκλίδι] Sic vocabantur fores fori iudicialis, κασκελωτὰς aliter vocabant puta à cancellis, vnde cācellare, & cancellaria, vocabula vltimæ antiquitatis & nouissimæ, quæ ad nos peruenerunt longo tempore variata & diuersa facta quæ à doctissimo nostræ gentis Budæo explanātur & enarrantur in Adnotationibus in Pandectas. ἐντεῦθεν] Ab illo tempore, inquit non extulimus ipsum, (ἐξεφρείομεν est ἐξεφέρομεν,) sed ille fugiebat & effluebat per imbrices & caua loca quibus aqua pluuia fluit (hîc enim, arbitror, innuit per ὑδρορρόας & ὀπάς) est autem ἐνεβύσαμεν, impleuimus, vt dixit Homerus νάματος ἀσκὸν βεβυσμένον. At ἐπακτώσαμεν est sepiuimus & cuneis armauimus: est enim πακτῶσαι τὸ σφηνῶσαι.

Σχόλια. Ἐξεφρείομεν.] ἐξεφέρομεν. ὑδρορρόων. οἱ κοῖλοι τόποι δι' ὧν χωρεῖ τὸ ὕδωρ τὸ ἐξ ὑετοῦ.

B Bisetvs. Φέρω, κατὰ μετάθεσιν φρέω, ὅθεν κατ' ἐπένθεσιν τοῦ ι φρείω, καὶ τὸ σύνθετον ἐκφρείω.

Σχόλια. Ἐνεβύσαμεν.] ἐπληρώσαμεν. Ὅμηρος. νήματος ἀσκὸν βεβυσμένον. Κἀπακτώσαμεν.] ἐφράξαμεν. ἐπληρώσαμεν. πακτῶσαι γὰρ τὸ σφηνῶσαι.

Ὁ δ' ὥσπερεὶ κολοιὸς, αὑτῷ παττάλους
Ἐνεκρούων εἰς τὸν τοῖχον. εἶτ' ἐξήλλετο.
Ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
Καταπετάσαντες ἐν κύκλῳ, φυλάττομεν.
Ἔστιν δ' ὄνομα τῷ μὲν γέροντι, Φιλοκλέων.
Ναὶ μὰ Δία. τῷ δ' υἱεῖ γε τῳδί· Βδελυκλέων,
Ἔχων τρόπους, ὀφρυαγμοσεμνακουστίνους.

*At ille palos parieti affigens, statim*
*Leuis exsilit, se proripitque vt gracculus.*
*Hinc vniuersum cassibus tricinium*
C *Prætensum habemus, sicque seruamus senem.*
*Ac nomen huius est senis Philocleon*
*Sed filio illi nomen est Bdelycleon*
*Mores habenti caperofrontiperuicos.*

Σχόλια. Ὥσπερεὶ κολοιός.] τοῖς γὰρ ἐν τῷ οἴκῳ κολοιοῖς καὶ τοῖς ἄλλοις ὀρνέοις, πηγνύουσι πάτταλον ἵνα εἰς αὐτοὺς ἅλλοιντο. Φιλοκλέων.] ἰδίως εἶπε τῇ φράσει τῷ υἱῷ ὄνομα Βδελυκλέων. καὶ τῷ πατρὶ, ὄνομα Φιλοκλέων. Ἔχων τρόπους.] ἀντίπτωσίς ἐστιν, ἀντὶ δοτικῆς τῆς ἔχοντι. συνήθως δὲ ὀφρύαγμος ἀπὸ τοῦ ὀφρῦς ἢ φρύαγμα καὶ σεμνὸν, ἀντὶ τοῦ ὑπερήφανον.

Bisetvs. Τοῦτο σύγκειται ἐκ τοῦ ὀφρὺς, ύος, ὃ μεταφορικῶς τὴν ὑπερηφανίαν, καὶ ἀλαζονείαν δηλοῖ. ὅθεν ὀφρυάζειν, τὸ ὑπερηφανεῖν. καὶ τοῦ φρύαγμα, καὶ τοῦ σεμνὸν, καὶ τοῦ ἀκουστεῖν. φρύαγμα δὲ, ἡ τῶν ἵππων, καὶ ἡμιόνων διὰ μυκτήρων ἠχὴ ἀγρίῳ φυσήματι ἐκπίπτουσα. ἀλλαχοῦ δὲ ἡ γέλασις οὕτω καλεῖται. τὸ δὲ σεμνὸν νῦν τὸ τρυφερὸν, καὶ ἀλαζονικὸν σημαίνει. τὸ δὲ ἀκουστεῖν κατ' ἐπένθεσιν τοῦ υ. Σ. ἀκοστήσας, κριθιάσας. ἀκοσταὶ γὰρ αἱ κριθαὶ καλοῦνται. ἢ ἀκολαστήσας, καὶ κατὰ συγκοπὴν ἀκοστήσας. ὁ ποιητὴς διὰ τούτου τοῦ συνθέτου ὑπερβολὴν ὑπερηφανίας, καὶ ἀλαζονείας δηλοῖ.

D Flor. Ὥσπερ εἰ κολοιός] Nam gracculis & eiusmodi auitio palum fixum statuebant, ad quem insilientes volarent. ἔχων τρόπους ὀφρυαγμοσε.] Quare scholiastes ἀντίπτωσιν hic faciat, id est casum pro casu, vt ἔχων sit pro ἔχοντι, nescio. Quid ni enim ἔχων referas ad Φιλοκλέων; At epitheton illud ὀφρυαγ. mendosè legitur. cùm enim compositum sit ἐκ τῶν ὀφρύων vel φρυαγμάτων & τοῦ σεμνοῦ, id est, ὑπερηφάνου, corrigendum ὀφρυαγμοσεμνάκους
E τινας, vel (vt Suidas) φρυαγμο. &c.

ΒΔΕΛΥΚΛΕΩΝ, ΞΑΝΘΙΑΣ, ΣΩΣΙΑΣ, ΦΙΛΟΚΛΕΩΝ.

BDELYCLEON, XANT. SOSIAS, PHILOCL.

Bisetvs. Βδελυκλέων τοὺς δούλους καθεύδοντας, καὶ ὀλιγώρως φυλακὴν ποιουμένους ὀνειδίζει. καὶ γὰρ Φιλοκλέων πάσῃ τέχνῃ τοὺς φύλακας φενακίζειν, καὶ ἐξαπατᾶν πειρᾶται, ὅπως ἐκφεύγῃ, ἀλλ' ὑπ' αὐτοῦ κωλύεται.

F
Βδε. Ὦ Ξανθία καὶ Σωσία. καθεύδετε;
Ξαν. Οἴμοι. Σω. τί ἐστι; Ξαν. Βδελυκλέων ἀνίσταται.
Βδε. Οὐ περιδραμεῖται σφῶν ταχέως δεῦρ' ἅτερος;
Ὁ γὰρ πατὴρ εἰς τὸν ἰπνὸν εἰσελήλυθε,
Καὶ μυσπολεῖ τις ὥς τις καταδεδυκώς. ἀλλ' ἄθρει.
Κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται.
Σὺ δὲ τῇ θύρᾳ πρόσκεισο. Οἰ. ταῦτ' ὦ δέσποτα.
Ἄναξ Πόσειδον. τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
Οὗτος τίς εἶ σύ. Φι. καπνὸς ἔγωγ' ἐξέρχομαι.
Βδε. Καπνός, φέρ' ἴδω τίνος ξύλου σύ. Φι. συκίνου.
Βδε. Νὴ τὸν Δί' ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.

F *Bde. O Xanthia atque Sosia obdormiscitis?*
*Xan. Hei mi. So. quid est? Xan. exsurgit en Bdelycleon.*
*Bde. Non hucce curret alter ex vobis cito?*
*Ingressus est vt suspicor furnum pater*
*Russatur illic quisquis obrepsit, vide*
*Ne per foramen forsitan solij exeat,*
*Tu ianuæ autem incumbe.* Servvs. *Siccine*
G *est here?*
*Pro Conse Rex! quid instrepit fumarium?*
*Eho quis es tu?* Philocleon. *fumus egressum aucupo.*
*Bde. Fumúsne? ligni cuius est?* Phil. *ficulnei.*
*Bde. Sanè omnium qui fumus est acerrimus.*